*παρὰ θεῶν γέρας ἐν βροτοῖς*
*ἢ χεῖρ᾿ ὑπὲρ κορυφᾶς*
*τῶν ἐχθρῶν κρείσσω κατέχειν;*
*ὅ τι καλὸν φίλον ἀεί.*

ἐπῳδ. *εὐδαίμων μὲν ὃς ἐκ θαλάσσας*
*ἔφυγε χεῖμα, λιμένα δ᾿ ἔκιχεν·*
*εὐδαίμων δ᾿ ὃς ὕπερθε μόχθων*
*ἐγένεθ᾿· ἑτέρᾳ δ᾿ ἕτερος ἕτερον*
*ὄλβῳ καὶ δυνάμει παρῆλθεν.*
*μυρίαι δ᾿ ἔτι μυρίοις*
*εἰσὶν ἐλπίδες· αἳ μὲν*
*τελευτῶσιν ἄνολβοι*
*βροτοῖς, αἳ δ᾿ ἀπέβησαν·*
*τὸ δὲ κατ᾿ ἦμαρ ὅτῳ βίοτος*
*εὐδαίμων, μακαρίζω.*

*ΔΙ.* *σὲ τὸν πρόθυμον ὄνθ᾿ ἃ μὴ χρεὼν ὁρᾶν*
*σπεύδοντά τ᾿ ἀσπούδαστα, Πενθέα λέγω,*
*ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι,*
*σκευὴν γυναικὸς μαινάδος βάκχης ἔχων,*
*μητρός τε τῆς σῆς καὶ λόχου κατάσκοπος·*
*πρέπεις δὲ Κάδμου θυγατέρων μορφὴν μιᾷ.*
*ΠΕ.* *καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,*
*δισσὰς δὲ Θήβας καὶ πόλισμ᾿ ἑπτάστομον·*
*καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς*
*καὶ σῷ κέρατα κρατὶ προσπεφυκέναι.*
*ἀλλ᾿ ἦ ποτ᾿ ἦσθα θήρ; τεταύρωσαι γὰρ οὖν.*